ὄντα ἐκ τῶν φανερῶν ἀεὶ καὶ ὑπαρχόντων περὶ τῶν μελλόντων, καὶ τοὺς πραγματικωτάτους ἀεὶ τῶν προεστώτων εἴτε δημοκρατίας εἴτε μοναρχίας εἴθ' ἧς δήποτε πολιτείας τοιούτωι τρόπωι διαλογισμοῦ χρωμένους. Katechese und Vortrag: 43, 1 [p. 43] ὁ γὰρ μακρῶι λόγωι καὶ συνειρομένωι καλῶς χρώμενος ἄριστα χρήσεται καὶ τῶι διὰ ἐρωτήσεως καλουμένωι, καὶ ὁ τούτωι κἀκείνωι· ⟨καὶ γὰρ τὸ ἐπὶ⟩ τοῦ συνειρομένου γινώσκειν, μέχρι ὅσου τοῖς ἀκούσασι γνώριμον δεῖ ποιεῖν τὸ πῖπτον ὑπὸ μίαν διάνοιαν ταὐτό τί ἐστι τῶι δύνασθαι θεωρεῖν, μέχρι ὅσου προτείνων οὔτ' ἂν ἐλλείποι τις οὔθ' ὑπερβαίνοι τοῦ προάξοντος τὸν ἀποκρινόμενον ἐπὶ τὴν ἰδέαν ἀγνοουμένου πράγματος. Disposition: 31, 3 [p. 43] κατανενοηκὼς μόνος ἂν δύναιτο κατὰ τηλικαῦτα διαιρῶν προτεῖναι καθ' ὅσα τὸ φῆσαι καὶ ἀποφῆσαι μὴ περὶ τῶν φανερῶν ὅπηι εἰσίν, ἀλλὰ περὶ τῶν ἀδήλων καὶ ἀδιαλήπτων, τοῖς μανθάνουσι προτατέον. Vgl. 30, 2 [p. 42] ἀδυνατήσειν ἐν ἐκείνωι τῶι λαλήματι διαλέγεσθαι τὸν ὀρθῶς φυσιολογοῦντα, ὅτ⟨ωι⟩ πάνυ χρῆται κατὰ πηλίκα τινὰ διαιρ⟨ῶν⟩ τὰ τοῦ λόγου καθ' ἕκαστα μέχρι τοῦ ποιεῖν κεφαλαιώματά τινα κατὰ τοὺς τούτων ἐναργῆ ἐπιστήμην ἀπειργασμένους.

3. Clem. Str. II 130 (II 184, 14 St.) nach Apollodoros [s. II 246, 3] καθάπερ N. τὴν ἀκαταπληξίαν [als τέλος bezeichnet]· ταύτην γὰρ ἔφη ὑπὸ Δημοκρίτου 'ἀθαμβίην' λέγεσθαι [68 B 4. 215].

4. Senec. Ep. 88, 43 *N. ait ex his quae videntur esse nihil magis esse quam non esse.*

# 76 [63]. DIOTIMOS

1. Aët. II 17, 3 (D. 346) Διότιμος Τύριος ὁ Δημοκρίτειος τὴν αὐτὴν τούτοις εἰσηνέγκατο γνώμην [nach Metrodor und Straton vgl. II 232, 10].

2. Clem. Str. II 130 [II 184, 16 St.; s. Z. 16] ἔτι πρὸς τούτοις [Demokrit, Hekataios, Apollodoros, Nausiphanes] Δ. τὴν παντέλειαν τῶν ἀγαθῶν ἣν εὐεστὼ προσαγορεύεσθαι [nämlich ὑπὸ Δημοκρίτου 68 B 4. 140], τέλος ἀπέφηνεν.

3. Sext. VII 140 Δ. δὲ τρία κατ' αὐτὸν [Demokrit, 68 A 111] ἔλεγεν εἶναι κριτήρια, (1) τῆς μὲν τῶν ἀδήλων καταλήψεως τὰ φαινόμενα ('ὄψις γὰρ τῶν ἀδήλων τὰ φαινόμενα', ὥς φησιν 'Αναξαγόρας [59 B 21a], ὃν ἐπὶ τούτωι Δημόκριτος ἐπαινεῖ), (2) ζητήσεως δὲ τὴν ἔννοιαν ('περὶ παντὸς γάρ, ὦ παῖ, μία ἀρχὴ τὸ εἰδέναι περὶ ὅτου ἔστιν ἡ ζήτησις' [Plato Phaedr. p. 237B]), (3) αἱρέσεως δὲ καὶ φυγῆς τὰ πάθη· τὸ μὲν γὰρ ὧι προσοικειούμεθα, τοῦτο αἱρετόν ἐστιν, τὸ δὲ ὧι προσαλλοτριούμεθα, τοῦτο φευκτόν ἐστιν.

4. Scriptor Epicureus ed. Vogliano (Berl. 1928) fr. 5 col. XXVI, 11: Ein Diotimos von Pythokles bekämpft.

---

5 ⟨καὶ γὰρ τὸ ἐπὶ⟩ Crönert: ⟨ὅτι⟩ κ⟨αὶ τὸ ἐ⟩πὶ Sudh. 8 ἐπ⟨ὶ τὴν ἰδέ⟩αν Sudh.: ἐπ⟨ί⟩ τι⟨ν' ἰδέ⟩αν? Crönert 9ff. nach Arnim S. 61 12 ⟨λ⟩αλήματι (vgl. Rhet. II 26, 7; Arnim S. 56) Crönert: ⟨πο⟩λίσματι Sudh.: ⟨πα⟩λαίσματι Arnim 13 ὅτ⟨ωι⟩ Crönert: ὅτι οὐ Sudh. διαιρ⟨ῶν⟩ Arnim: διαιρ⟨εῖν⟩ Sudh. 17 ἀκαταπληξίαν Heinsius: κατάπληξιν L 22 Δημοκρίτειος Diels: διοκρίτιος A 29 vgl. zu II 43, 15.

# 77 [64]. BION VON ABDERA

1. Diog. iv 58 γεγόνασι δὲ Βίωνες δέκα· ... τέταρτος [vorhergeht der Borysthenite] Δημοκρίτειος καὶ μαθηματικός, Ἀβδηρίτης, Ἀτθίδι γεγραφὼς καὶ Ἰάδι· οὗτος πρῶτος εἶπεν εἶναί τινας οἰκήσεις, ἔνθα γίνεσθαι ἓξ μηνῶν τὴν νύκτα καὶ ἓξ τὴν ἡμέραν.

2. Strab. i p. 29 τοῦ δὲ δύο εἶναι τοὺς ἀνέμους ποιοῦνται μάρτυρας Θρασυάλκην [c. 35, 2] τε καὶ τὸν ποιητὴν αὐτὸν ⟨τῶι⟩ τὸν μὲν Ἀργέστην τῶι Νότωι προσνέμειν 'ἀργέσταο Νότοιο' [Λ 306 Φ 334], τὸν δὲ Ζέφυρον τῶι Βορέαι 'Βορέης καὶ Ζέφυρος, τώ τε Θρήικηθεν ἄητον' (Ι 5]. φησὶ δὲ Ποσειδώνιος [FGrHist. 87 F 74 ii 268] μηδένα οὕτως παραδεδωκέναι τοὺς ἀνέμους τῶν γνωρίμων περὶ ταῦτα οἷον Ἀριστοτέλη, Τιμοσθένη [der Admiral des Philadelphos], Βίωνα τὸν ἀστρολόγον, ἀλλὰ τὸν μὲν ἀπὸ θερινῶν ἀνατολῶν καικίαν, τὸν δὲ τούτωι κατὰ διάμετρον ἐναντίον λίβα ἀπὸ δύσεως ὄντα χειμερινῆς· πάλιν δὲ τὸν μὲν ἀπὸ χειμερινῆς ἀνατολῆς εὖρον, τὸν δ' ἐναντίον ἀργέστην· τοὺς δὲ μέσους ἀπηλιώτην καὶ ζέφυρον. Vgl. c. 35, 1.

---

# 78 [65]. BOLOS

Suidas über ihn s. 68 B 300, 1 (ii 211, 1); daselbst zitiert
ΠΕΡΙ ΤΩΝ ΕΚ ΤΗΣ ΑΝΑΓΝΩΣΕΩΣ ΤΩΝ ΙΣΤΟΡΙΩΝ
ΕΙΣ ΕΠΙΣΤΑΣΙΝ ΗΜΑΣ ΑΓΟΝΤΩΝ.

Über seinen Namen, Zeit, Schriften s. zu ii 125, 2ff. 210, 14. 212, 2. Dazu Apollon. Mirabil. 31 Zitat aus Theophr. H. pl. ix 17, 4, zitiert auch bei Steph. Byz. Ἄψυνθος] ... ἔστι καὶ εἶδος φυτοῦ περὶ οὗ Βῶλος ὁ Δημοκρίτειος, ὅτι Θεόφραστος ἐν τῶι Περὶ φυτῶν ἐνάτωι· 'τὰ πρόβατα τὰ ἐν τῶι Πόντωι τὸ ἀψύνθιον νεμόμενα οὐκ ἔχει χολήν'.

Literatur: M. Wellmann *Die Georgika des Demokritos Abh. d. Berl. Ak.* 1921, 4; ders. *Die Φυσικὰ des Bolos Demokritos und der Magier Anaxilaos aus Larissa,* ebd. 1928, 7; ders. *Der Physiologos. Philol.* Suppl. xxii (1931); Kroll *Herm.* 69 (1934) 228.

Ein Ὧρος Μενδήσιος als Erfinder des Ἐννεαφάρμακον erscheint bei Aëtios xv 27 (p. 124, 5 ed. Zerbos = *Ἀθηνᾶ* Bd. xxi, 1909).

---

4 Hultsch (*Pauly-Wiss. R.-E.* iii 486) schließt aus dieser auf Berechnung beruhenden Annahme, welche den Standpunkt des mathematischen Wissens vor Eudoxos voraussetze, daß Bion zu Anfang des 4. Jahrh. gelebt habe  7 ⟨τῶι⟩ A$^2$: fehlt A$^1$BCI  21f. vgl. hierzu Wellmann *Georgika* S. 9f. Theophr. selbst sagt a. O. τὸ ἀψίνθιον τὰ μὲν ἐνταῦθα πρόβατα οὔ φασί τινες νέμεσθαι, τὰ δ' ἐν τῶι Πόντωι νέμεται, καὶ γίνεται πιότερα καὶ καλλίω καί, ὥς δή τινες λέγουσιν, οὐκ ἔχοντα χολήν.